# Scripts 11-20

*for* Alpha with Angela

11 ἕνδεκα · τὸ δίδαγμα τὸ ἑνδέκατον.

12 δώδεκα · τὸ δίδαγμα τὸ δωδέκατον.

13 δεκατρία · τὸ δίδαγμα τὸ τρισκαιδέκατον

ΤΑ ΚΑΚΑ ΠΑΙΔΙΑ

14 δεκατέσσαρα · τὸ δίδαγμα τὸ τεσσαρακαιδέκατον

15 δεκαπέντε · τὸ δίδαγμα τὸ πεντεκαιδέκατον

16 δεκαέξ · τὸ δίδαγμα τὸ ἑκκαιδέκατον

17 δεκαεπτά · τὸ δίδαγμα τὸ ἑπτακαιδέκατον

18 δεκαοκτώ · τὸ δίδαγμα τὸ ὀκτωκαιδέκατον

19 δεκαεννέα · τὸ δίδαγμα τὸ ἐννεακαιδέκατον

Η ΟΙΚΙΑ ΤΗΣ ΜΑΡΙΑΣ

20 εἴκοσι · τὸ δίδαγμα τὸ εἰκοστόν

Last edited: 24 April 2023 ***Please let us know if you find any errors in the lesson scripts.***

## 11 ἕνδεκα · τὸ δίδαγμα τὸ ἑνδέκατον.

Τί ἐστι τοῦτο; Κεφαλή. Ἡ κεφαλή μού ἐστιν.
**Πόσαι** κεφαλαί μοί εἰσιν; **Πόσαι;**
Ἕν…οὔ…**μία. Μία** κεφαλή μοί ἐστιν**. Μία** κεφαλή **μοί** ἐστιν;
**Μία. Μία.** Ἕν **ᾠόν, μία** κεφαλή**.**

ἡ, θηλυκόν ἐστιν, ἡ κεφαλή.
τό, οὐδέτερόν ἐστιν, τό ᾠόν.
θηλυκόν, οὐδέτερον.
**Μία**, ἕν.

**Πόσαι** χεῖρές μοί εἰσιν; **Πόσαι** χεῖρες; **Πόσαι**;
**Μία**, δύο. Δύο χεῖρές μοί εἰσιν; Δύο.
**Μία**, δύο.

βόες, αἱ βόες
**Πόσαι** βόες μοί εἰσιν; **Πόσαι**;
Μία, δύο, τρεῖς. Τρεῖς βόες μοί εἰσιν. Τρεῖς.
Μία, δύο, τρεῖς.

Θύραι.
**Πόσαι** θύραι εἰσίν; **Πόσαι** θύραι;
**Μία**, δύο, τρεῖς, **τέσσαρες**. **Τέσσαρες** θύραι εἰσίν. **Τέσσαρες.**
**Μία**, δύο, τρεῖς, **τέσσαρες**.

Γυναῖκες.
**Πόσαι** γυναῖκές εἰσιν; **Πόσαι**;
**Μία**, δύο, τρεῖς, **τέσσαρες**, πέντε. Πέντε γυναῖκές εἰσιν. Πέντε.

Πέντε, **τέσσαρες**, τρεῖς, δύο, **μία**

**Μία** θύρα.
Δύο χεῖρες.
Τρεῖς ὑδρίαι.
**Τέσσαρες** γυναῖκες.
Πέντε οἰκίαι.

**Μία**, δύο, τρεῖς, **τέσσαρες,** πέντε.

**Πόσαι**;
**Τέσσαρες** γυναῖκες καὶ **τέσσαρες** γλῶσσαι. **Τέσσαρες** γυναῖκες καὶ **τέσσαρες** γλῶσσαι.
**Μία** βοῦς καὶ **μία** γλῶσσα. **Μία** βοῦς καὶ **μία** γλῶσσα.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Τρεῖς τράπεζαι μεγάλαι. Τρεῖς τράπεζαι μεγάλαι.
Τρεῖς τράπεζαι μικραὶ καὶ καλαί. Τρεῖς τράπεζαι μικραὶ καὶ καλαί.
Πέντε γυναῖκες καὶ πέντε ὑδρίαι. Πέντε γυναῖκες καὶ πέντε ὑδρίαι.
Τρεῖς οἰκίαι μικραί. Τρεῖς οἰκίαι μικραί.
**Τέσσαρες** οἰκίαι μεγάλαι. **Τέσσαρες** οἰκίαι μεγάλαι.
Τρεῖς γυναῖκες κακαί. Τρεῖς γυναῖκες κακαί.
Τρεῖς γυναῖκες καλαί. Τρεῖς γυναῖκες καλαί.
Τρεῖς ὄρνιθες. Τρεῖς ὄρνιθες.
**Μία** βοῦς καὶ δύο οἰκίαι. **Μία** βοῦς καὶ δύο οἰκίαι.
Δύο ὑδρίαι μεγάλαι. Δύο ὑδρίαι μεγάλαι.
**Μία** βοῦς μεγάλη καὶ μία θύρα μικρά. **Μία** βοῦς μεγάλη καὶ μία θύρα μικρά.

**Μία**, δύο, τρεῖς, **τέσσαρες,** πέντε.

Ἔρρωσθε.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 12 δώδεκα · τὸ δίδαγμα τὸ δωδέκατον.

Χαίρετε. Ὄνομά μοι Ἀγγέλη ἐστίν.

Ἀνήρ.
**Πόσοι** ἄνδρες μοί εἰσιν; **Πόσοι** ἄνδρες**;**
**Εἷς. Εἷς** ἀνήρ μοί ἐστιν. **Εἷς.**

**Εἷς** ἀνήρ, μία κεφαλή, ἕν **ᾠόν.**
♂ ἀρσενικόν
♀ θηλυκόν
⚲ οὐδέτερον
**Εἷς,** μία, ἕν.

Ὄνοι.
**ψ Πόσοι**;
**Εἷς**, δύο. Δύο ὄνοι μοί **εἰσιν**. Δύο ὄνοι μοί **εἰσιν.** Δύο.
**Εἷς**, δύο.

Λίθοι.
**Πόσοι** λίθοι μοί εἰσιν; **Πόσοι**;
**Εἷς**, δύο, τρεῖς. Τρεῖς λίθοι μοί εἰσιν. Τρεῖς.
**Εἷς**, δύο, τρεῖς.

Ἵπποι.
**Πόσοι** ἵπποι μοί εἰσιν; **Πόσοι**;
**Εἷς**, δύο, τρεῖς, τέσσαρες. Τέσσαρες ἵπποι μοί εἰσιν.
Τέσσαρες ἵπποι μοί εἰσιν. Τέσσαρες.
**Εἷς**, δύο, τρεῖς, τέσσαρες**.**

Δάκτυλοι.
**Πόσοι** δάκτυλοί μοί εἰσιν;
**Εἷς**, δύο, τρεῖς, τέσσαρες, πέντε. Πέντε δάκτυλοί μοί εἰσιν. Πέντε.

Πέντε, τέσσαρες, τρεῖς, δύο, **εἷς**.

**Πόσοι;**
**Εἷς** ἵππος.
Δύο κύνες.
Τρεῖς ἄνδρες.
Τέσσαρες λίθοι.
Πέντε ἄνθρωποι.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

♂ Ἀρσενικόν · **Εἷς**, δύο, τρεῖς, τέσσαρες, πέντε.
♀ Θηλυκόν ·   Μία, δύο, τρεῖς, τέσσαρες, πέντε.
⚲ Οὐδέτερον · Ἕν, δύο, τρία, τέσσαρα, πέντε.

**Πόσοι**; Πόσαι; Πόσα;
**Εἷς** ἀνὴρ καὶ μία γυνὴ καὶ ἕν παιδίον. **Εἷς** ἀνὴρ καὶ μία γυνὴ καὶ ἕν παιδίον.
**Εἷς** κάμηλος καὶ πέντε ὀδόντες. **Εἷς** κάμηλος καὶ πέντε ὀδόντες.
Τρεῖς ἄρτοι κακοί. Τρεῖς ἄρτοι κακοί.
Τρεῖς οἰκίαι μικραὶ καὶ **εἷς** χοῖρος μέγας. Τρεῖς οἰκίαι μικραὶ καὶ **εἷς** χοῖρος μέγας.
**Εἷς** ὄνος καὶ δύο ὦτα. **Εἷς** ὄνος καὶ δύο ὦτα.
**Εἷς** ὄνος καὶ δύο ᾠά. **Εἷς** ὄνος καὶ δύο ᾠά.
Ὦτα, ᾠά, ὦτα, ᾠά.
Τρία ᾠά. Ἕν ᾠόν καλὸν καὶ δύο ᾠὰ κακά. Τρία ᾠά. Ἕν ᾠόν καλὸν καὶ δύο ᾠὰ κακά.
Τέσσαρες ἄνθρωποι καὶ τέσσαρα ζῷα. Τέσσαρες ἄνθρωποι καὶ τέσσαρα ζῷα.
Πέντε λίθοι καὶ δύο χεῖρες. Πέντε λίθοι καὶ δύο χεῖρες.
Δύο γυναῖκες καὶ πέντε παιδία. Δύο γυναῖκες καὶ πέντε παιδία.
**Εἷς** ἀνὴρ καὶ μία θύρα. **Εἷς** ἀνὴρ καὶ μία θύρα.
Μία ὑδρία, ἕν ποτήριον καὶ ὕδωρ. Μία ὑδρία, ἕν ποτήριον καὶ ὕδωρ.

**Πόσοι; Πόσαι; Πόσα;**

♂ **Εἷς**, δύο, τρεῖς, τέσσαρες, πέντε.
♀ Μία, δύο, τρεῖς, τέσσαρες, πέντε.
⚲ Ἕν, δύο, τρία, τέσσαρα, πέντε.

Ἔρρωσθε.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 13 δεκατρία · τὸ δίδαγμα τὸ τρισκαιδέκατον

Χαίρετε. Ἐγὼ Ἀγγέλη εἰμί. Ἐγὼ γυνή εἰμι.
Τί ἐγώ εἰμι; Γυνή εἰμι.
Τίς ἐγώ εἰμι; Ἀγγέλη εἰμί.

Οὗτός ἐστιν ἀνήρ μικρός. Σὺ ἀνὴρ μικρὸς εἶ.
Ἐγὼ ἀνὴρ μικρός εἰμι.
Αὕτη ἐστίν γυνὴ μικρά. Σὺ γυνὴ μικρὰ εἶ.
Ἐγὼ γυνὴ μικρά εἰμι καὶ σὺ γυνὴ μεγάλη εἶ.
Ἐγὼ γυνὴ μεγάλη εἰμί.

Οὗτοί εἰσιν ἄνθρωποι μικροί.
**Ἡμεῖς** ἄνθρωποι μικροί **ἐσμεν.**
**Ὑμεῖς** ἄνθρωποι μικροί **ἐστε.**

Ἐγώ εἰμι. Σὺ εἶ. Σὺ εἶ.
**Ἡμεῖς ἐσμεν.**
**Ὑμεῖς ἐστε.**

Τοῦτό ἐστι παιδίον μικρὸν καὶ τοῦτό ἐστιν παιδίον μικρόν.  Ταῦτά ἐστι παιδία μικρά.

Οὗτοί εἰσιν πρεσβύτεροι.
Οὗτός ἐστιν **πρεσβύτης.** Αὕτη ἐστίν **πρεσβῦτις**.
ὁ **πρεσβύτης**, ἡ **πρεσβῦτις**.
**Πρεσβύτης**, **πρεσβῦτις**.

**Ἡμεῖς** ἄνδρες μικροί **ἐσμεν**.
**Ἡμεῖς** γυναῖκες μικραί **ἐσμεν**.
**Ὑμεῖς** γυναῖκες μικραί **ἐστε**.
**Ὑμεῖς** ἄνδρες μικροί **ἐστε**.

**Ἡμεῖς** παιδία **ἐσμέν**.
**Ἡμεῖς** πρεσβύτεροί **ἐσμεν**.
Σὺ **πρεσβῦτις** εἶ. Σὺ **πρεσβύτης** εἶ.

Τί ἐστι τοῦτο; **Βρέφος** ἐστίν. **Βρέφος**. **Βρέφος** Τὸ **βρέφος**.
Τί αὕτη ἐστίν;  **Κοράσιον**. **Κοράσιον**. Τὸ **κοράσιον**.
Τί οὗτός ἐστιν; **Νεανίσκος**. **Νεανίσκος**. Ὁ **νεανίσκος**.
Τὸ **κοράσιον**, τὰ **κοράσια**.
Ὁ **νεανίσκος**, οἱ **νεανίσκοι**.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Ἄνθρωποι. **Βρέφος**. Παιδίον. Παιδίον. **Νεανίσκος**. **Κοράσιον**. Ἀνήρ. Γυνή. **Πρεσβύτης**. **Πρεσβῦτις**.

**Σίγα.**
**Σιγᾶτε.**
**Σίγα.**
**Σιγᾶτε, Σιγᾶτε.**
**Σιγᾶτε, Σιγᾶτε.**
**Σίγα.**

## ΤΑ ΚΑΚΑ ΠΑΙΔΙΑ

Χαίρετε. Ἐγὼ Σίμων εἰμί καὶ ἐγὼ ἄνθρωπος μικρός εἰμι.
Αὕτη ἐστὶ Μαριάμ καὶ αὕτη ἐστὶ γυνὴ μικρά.
Χαίρετε. Ἐγὼ Μαριάμ εἰμι καὶ οὗτός ἐστι Σίμων. **Ἡμεῖς** ἄνθρωποι μικροί **ἐσμεν.**

Οὗτός ἐστι Μάρκος καὶ Μάρκος παιδίον ἐστίν.
**Οὐχί**, ἐγὼ **γὰρ** ἀνήρ εἰμι.
Οὔ, σὺ παιδίον εἶ. Τί εἶ σύ;
Παιδίον εἰμί.
Αὕτη ἐστὶ Σαλώμη καὶ Σαλώμη παιδίον ἐστίν.
Αὕτη ἐστὶ βοῦς.
**Οὐχί**, ἐγὼ **γὰρ** ἄνθρωπός εἰμι.

Σὺ ὄνος εἶ.
**Οὐχί**. Καὶ ἐγὼ ἄνθρωπός εἰμι. Σὺ κάμηλος εἶ.
Οὐχί. Οὐχί. Οὐχί. Οὐχί.
**Σιγᾶτε**. **Ὑμεῖς** παιδία **ἐστέ**, **ὑμεῖς** οὐκ **ἐστὲ** βόες ἢ ὄνοι. Καλῶς;
Καλῶς. **Ἡμεῖς** παιδία **ἐσμέν.**
Ναί. **Ὑμεῖς** παιδία **ἐστέ.**

Σὺ κύων εἶ.
Οὐχί. Ἐγὼ **γὰρ** ἄνθρωπός εἰμι. Σὺ χοῖρος εἶ.
**Σίγα.** Οὐκ εἰμὶ χοῖρος.
**Σιγᾶτε**. **Ὑμεῖς** παιδία **ἐστέ**, **ὑμεῖς** ζῷα οὐκ **ἐστέ**. Ἄνθρωποι **γὰρ ἡμεῖς ἐσμεν**. Τί **ὑμεῖς ἐστε**;
**Ἡμεῖς** ἄνθρωποί **ἐσμεν**.
**Ὑμεῖς** ἄνθρωποί **ἐστε** καὶ **ἡμεῖς** πρόβατά **ἐσμεν**…βῆ …
**Οὐχί**, **ἡμεῖς γὰρ** ἄνθρωποί **ἐσμεν**.
**Οὐχί. Οὐχί. Οὐχί. Οὐχί**.
**Σιγᾶτε**. **Ὑμεῖς** παιδία **ἐστέ**, **ὑμεῖς** πρόβατα οὐκ **ἐστέ**. Ταῦτα τὰ παιδία κακά ἐστιν.
**Οὐχί**, τὰ παιδία μου καλά ἐστιν.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**Ἰδού. Ἐκεῖ.** Αὗταί εἰσι βόες.
Ποῦ εἰσιν αἱ βόες;
Ἐκεῖ.
Ναί, αὗταί εἰσι βόες.
Σὺ βοῦς εἶ.
Τὰ παιδία μου κακά ἐστιν.

Ἔρρωσθε. Ἔρρωσθε.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 14 δεκατέσσαρα · τὸ δίδαγμα τὸ τεσσαρακαιδέκατον

Χαίρετε.
Ἐγὼ Ἀγγέλη εἰμί.

Ἐγὼ ἀνήρ εἰμι καὶ ἐγὼ γυνή εἰμι.
Ἡμεῖς ἄνδρες ἐσμέν.
Ἡμεῖς γυναῖκές ἐσμεν.
Ἐγὼ **νεανίσκος** εἰμί.
Ἡμεῖς **νεανίσκοι** ἐσμέν.
Ἐγὼ **κοράσιόν** εἰμι.
Ἡμεῖς **κοράσιά** ἐσμεν.
Ἐγὼ πρόβατόν εἰμι.
Ἡμεῖς πρόβατά ἐσμεν.
Ἐγὼ βοῦς εἰμι.
Ἡμεῖς βόες ἐσμέν.
Ἐγὼ ὄνος εἰμί.
Ἡμεῖς ὄνοι ἐσμέν.
Ἐγὼ κάμηλός εἰμι.
Ἡμεῖς κάμηλοί ἐσμεν.
Ἐγὼ ἵππος εἰμί.
Ἡμεῖς ἵπποι ἐσμέν.
Σὺ παιδίον εἶ.
Σὺ γυνὴ εἶ.
Ἐγὼ ἀνήρ εἰμι καὶ σὺ **νεανίσκος** εἶ.
Ἐγὼ ἀνήρ εἰμι καὶ σὺ γυνὴ εἶ.
Ἐγὼ **πρεσβύτης** εἰμί καὶ σὺ **πρεσβῦτις** εἶ. Ἡμεῖς **πρεσβύτεροι** ἐσμέν.

Σὺ ἵππος μέγας εἶ.
Σὺ ἀνὴρ μικρός σφόδρα εἶ.
Σὺ γυνὴ μικρά σφόδρα εἶ.

Σὺ **νεανίσκος** εἶ. Ἐγὼ **νεανίσκος** εἰμί.
Τοῦτό ἐστι σκέλος. Ταῦτά ἐστι σκέλη. Τὰ σκέλη.
Ἐγὼ **βρέφος** εἰμί. Ἡμεῖς **βρέφη** ἐσμέν.
τὸ **βρέφος**, τὰ **βρέφη**

Ἐγὼ πρόβατόν εἰμι καὶ σὺ βοῦς εἶ.
Ἐγὼ ὄνος μικρός εἰμι καὶ σὺ κάμηλος μέγας εἶ.
Ἐγὼ βοῦς μεγάλη εἰμὶ καὶ σὺ ἵππος μικρός εἶ.
Σὺ **βρέφος** καλόν εἶ.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Ἐγὼ κάμηλός εἰμι καὶ ὑμεῖς ἄνθρωποί ἐστε.
Ἐγὼ ἄνθρωπός εἰμι καὶ ὑμεῖς πρόβατά ἐστε.
Ὑμεῖς γυναῖκές ἐστε.
Ὑμεῖς ἄνθρωποί ἐστε.
Ἐγὼ γυνή εἰμι καὶ ὑμεῖς ἄνδρες ἐστέ. Ὑμεῖς ἄνδρες ἐστέ.
Καὶ ὑμεῖς **κοράσιά** ἐστε. Ὑμεῖς κοράσιά ἐστε.
Ὑμεῖς βόες ἐστέ.
Ὑμεῖς γυναῖκές ἐστε.
Ὑμεῖς ἄνθρωποί ἐστε.
Ὑμεῖς ἄνθρωποί ἐστε.

Ἡμεῖς γυναῖκές ἐσμεν καὶ οὗτός ἐστιν ἀνήρ.
Ἐγὼ **νεανίσκος** εἰμὶ καὶ οὗτός ἐστιν ἀνήρ. Οὗτός ἐστιν ἀνὴρ καὶ αὕτη ἐστὶ γυνή. Αὕτη ἐστὶ γυνή.
Ἐγὼ **κοράσιον** μικρόν εἰμι καὶ οὗτός ἐστιν ἀνὴρ μέγας.
Ἐγὼ ἀνὴρ μέγας εἰμί καὶ αὕτη ἐστὶ **κοράσιον** μικρόν.
Οὗτός ἐστι **νεανίσκος**. Αὕτη ἐστὶ **κοράσιον**.
Αὕτη ἐστὶ βοῦς.
Ἐγὼ **κοράσιόν** εἰμι καὶ οὗτός ἐστι **νεανίσκος**.
Ἐγὼ **νεανίσκος** εἰμὶ καὶ αὕτη ἐστὶ **κοράσιον**.
Οὗτοί εἰσιν ἄνθρωποι μικροί.
Οὗτοί εἰσιν ἄνθρωποι μεγάλοι.
Ἐγὼ πρόβατόν εἰμι καὶ οὗτοί εἰσιν ἵπποι.
Αὗταί εἰσι γυναῖκες.
Ταῦτά ἐστι πρόβατα.
Αὗταί εἰσι βόες.
Αὗταί εἰσι γυναῖκες.
Οὗτοί εἰσι **νεανίσκοι**.
Οὗτοί εἰσι πρεσβύτεροι. Οὗτός ἐστι **πρεσβύτης.** Αὕτη ἐστὶ **πρεσβῦτις.**
Τοῦτό ἐστι βρέφος.
Ἐγὼ **κοράσιόν** εἰμι καὶ οὗτοί εἰσι **νεανίσκοι**.
Ἐγὼ ἀνήρ εἰμι καὶ αὗταί εἰσι γυναῖκες.
Ἡμεῖς ἄνθρωποί ἐσμεν καὶ οὗτοί εἰσι βόες.
Ἐγὼ **πρεσβύτης** εἰμι. Ὑμεῖς πρεσβύτεροί ἐστε.
Τοῦτό ἐστι ποτήριον. Ταῦτά ἐστι ποτήρια.

Ἐγὼ βοῦς εἰμί. **Οὐχί**, σὺ γὰρ ἵππος εἶ.
Σὺ ἵππος εἶ. **Οὐχί**, ἐγὼ γὰρ ἀνήρ εἰμι. Ἀνήρ εἰμι.
Ἐγὼ ἀνήρ εἰμι. **Οὐ**, σὺ **νεανίσκος** εἶ. **Νεανίσκος** εἶ
Ἐγὼ ἵππος εἰμι. **Οὐχί**, σὺ **κοράσιον** εἶ. **Κοράσιον** εἶ.

Ἔρρωσθε

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 15 δεκαπέντε · τὸ δίδαγμα τὸ πεντεκαιδέκατον

Χαίρετε. Τίς ἐγώ εἰμι; Ἀγγέλη εἰμί.
Τίς οὗτός ἐστιν; Ἀβραάμ. Οὗτός ἐστιν Ἀβραάμ.
Τίς αὕτη ἐστίν; Σάρρα. Αὕτη ἐστὶ Σάρρα.
Σάρρα γυνή ἐστι **τοῦ** Ἀβραάμ.
Ἀβραάμ ἀνήρ ἐστι **τῆς** Σάρρας.
ἀνὴρ καὶ γυνή, ἀνὴρ καὶ γυνή, ἀνὴρ καὶ γυνή
Σάρρα γυνή ἐστι **τοῦ** Ἀβραάμ.
Ἀβραάμ ἀνήρ ἐστι **τῆς** Σάρρας.

Οὗτός ἐστιν Ἰσαάκ. Ἰσαάκ. Ἰσαὰκ **υἱός** ἐστι **τοῦ** Ἀβραάμ.
**υἱός, υἱός**, ὁ **υἱός**
Ἰσαὰκ **υἱός** ἐστι **τοῦ** Ἀβραάμ.
Ἀβραὰμ **πατήρ** ἐστι **τοῦ Ἰσαάκ**. Ἀβραὰμ **πατήρ** ἐστι **τοῦ Ἰσαάκ**.
**πατήρ, πατήρ, ὁ πατήρ, πατὴρ** καὶ **υἱός, πατὴρ** καὶ **υἱός, πατήρ, υἱός**
Ἀβραὰμ **πατήρ** ἐστι **τοῦ** Ἰσαάκ.
Ἰσαὰκ **υἱός** ἐστι **τοῦ** Ἀβραάμ.

Σάρρα **μήτηρ** ἐστὶ **τοῦ** Ἰσαάκ. Ἰσαάκ **υἱός** ἐστι **τῆς** Σάρρας.
**μήτηρ, υἱός**
**μήτηρ**, ἡ **μήτηρ, μήτηρ** καὶ **υἱός, μήτηρ** καὶ **υἱός**
Σάρρα **μήτηρ** ἐστὶ **τοῦ** Ἰσαάκ.
Ἰσαάκ **υἱός** ἐστι **τῆς** Σάρρας.
**πατήρ, μήτηρ, υἱός**

Τίς αὕτη ἐστίν; Ῥεβέκκα. Αὕτη ἐστὶ Ῥεβέκκα.
Ῥεβέκκα γυνή ἐστι **τοῦ** Ἰσαάκ.
Ἰσαάκ ἀνήρ ἐστι **τῆς** Ῥεβέκκας.
Ἀβραάμ, Σάρρα, Ἰσαάκ, Ῥεβέκκα
Αὕτη ἐστὶ γυνὴ **τοῦ** Ἀβραάμ.
Αὕτη ἐστὶ γυνὴ **τοῦ** Ἰσαάκ.
Οὗτός ἐστιν ἀνὴρ **τῆς** Σάρρας.
Οὗτός ἐστιν ἀνὴρ **τῆς** Ῥεβέκκας.

Ἆρα Σάρρα ἐστὶν ἡ γυνὴ **τοῦ** Ἰσαάκ; Οὐχί. Σάρρα ἐστὶν ἡ **μήτηρ τοῦ** Ἰσαάκ.
Ἆρα Ῥεβέκκα ἐστὶν ἡ γυνὴ **τοῦ** Ἀβραάμ; Οὐχί. Ῥεβέκκα ἐστὶν ἡ **γυνὴ τοῦ** Ἰσαάκ.
ἀνὴρ καὶ γυνή, **πατὴρ** καὶ **υἱός, μήτηρ** καὶ **υἱός**
Σάρρα **μήτηρ** ἐστὶ **τοῦ** Ἰσαάκ. Ἀβραάμ **πατήρ** ἐστι **τοῦ** Ἰσαάκ.
Ἀβραάμ καὶ Σάρρα **γονεῖς** εἰσι τοῦ Ἰσαάκ.
Πατὴρ καὶ **μήτηρ γονεῖς** εἰσιν**.**
**γονεῖς, γονεῖς**, οἱ **γονεῖς**.
Ἀβραὰμ καὶ Σάρρα **γονεῖς** εἰσι **τοῦ** Ἰσαάκ.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Ἰσαάκ **υἱός** ἐστι **τοῦ** Ἀβραὰμ καὶ **τῆς** Σάρρας.
Ἀβραὰμ ἀνήρ ἐστι **τῆς** Σάρρας.
Σάρρα γυνή ἐστι **τοῦ** Ἀβραάμ.
Ἰσαὰκ ἀνήρ ἐστι **τῆς** Ῥεβέκκας.
Ῥεβέκκα γυνή ἐστι **τοῦ** Ἰσαάκ.
Ἀβραὰμ **πατήρ** ἐστι **τοῦ** Ἰσαάκ.
Σάρρα **μήτηρ** ἐστὶ **τοῦ** Ἰσαάκ.
Ἰσαὰκ υἱός ἐστι **τοῦ** Ἀβραὰμ καὶ **τῆς** Σάρρας.
**πατήρ, μήτηρ, υἱός**

Οὗτός ἐστιν Δαυίδ. Δαυίδ. Δαυὶδ **βασιλεύς** ἐστιν. **βασιλεύς.** Δαυὶδ ὁ **βασιλεύς**.
**βασιλεύς, βασιλεύς**, ὁ **βασιλεύς**
Ἐγὼ εἰμὶ ὁ **Βασιλεύς**.
Οὗτός ἐστι Δαυὶδ ὁ **βασιλεύς**.

Τίς ἐστιν ὁ πατήρ τοῦ Δαυίδ; Ἰεσσαί. Ἰεσσαί ἐστιν ὁ **πατήρ τοῦ** Δαυίδ.
Ἰεσσαὶ **πατήρ** ἐστι **τοῦ** Δαυίδ. Δαυὶδ **υἱός** ἐστι **τοῦ** Ἰεσσαί.
Τίς αὕτη ἐστίν; Βηρσάβεε. Βηρσάβεε. Αὕτη ἐστὶ Βηρσάβεε. Βηρσάβεε γυνή ἐστι **τοῦ** Δαυίδ.
Δαυίδ, Βηρσάβεε
Ἰεσσαὶ **πατήρ** ἐστι **τοῦ** Δαυίδ. Δαυὶδ **υἱός** ἐστι **τοῦ** Ἰεσσαί.
Βηρσάβεε γυνή ἐστι **τοῦ** Δαυίδ. Δαυὶδ ἀνήρ ἐστι **τῆς** Βηρσαβεε.
**πατήρ, υἱός**

Οὗτός ἐστιν Ἀβεσσαλώμ. Ἀβεσσαλώμ. Ἀβεσσαλώμ **υἱός** ἐστι **τοῦ** Δαυίδ.
Ἀβεσσαλὼμ **υἱός** ἐστι **τοῦ** Δαυίδ.
Οὗτός ἐστι Σαλωμών. Σαλωμών. Καὶ Σαλωμὼν **υἱός** ἐστι **τοῦ** Δαυίδ. Καὶ Σαλωμὼν **βασιλεύς** ἐστιν. Σαλωμὼν ὁ **βασιλεύς**.
Σαλωμὼν **υἱός** ἐστι **τοῦ** Δαυίδ.
Βηρσάβεε **μήτηρ** ἐστὶ **τοῦ** Σαλωμών. Σαλωμὼν **υἱός** ἐστι **τῆς** Βηρσάβεε.
Δαυὶδ ὁ **βασιλεὺς πατήρ** ἐστι **τοῦ** Σαλωμών.
Τίς αὕτη ἐστίν; Θημάρ. Αὕτη ἐστὶ Θημάρ. Θημὰρ **θυγάτηρ** ἐστὶ **τοῦ** Δαυίδ.
Θημὰρ **θυγάτηρ** ἐστὶ **τοῦ** Δαυίδ. Δαυὶδ **πατήρ** ἐστι **τῆς** Θημάρ.
**θυγάτηρ**, ἡ **θυγάτηρ**
**μητὴρ** καὶ **θυγάτηρ**, **πατὴρ** καὶ **θυγάτηρ**, **πατὴρ** καὶ **μήτηρ** καὶ **θυγάτηρ**
Θημὰρ **θυγάτηρ** ἐστὶ **τοῦ** Δαυίδ.
Ἀβεσσαλὼμ **υἱός** ἐστι **τοῦ** Δαυίδ καὶ Σαλωμὼν **υἱός** ἐστι **τοῦ** Δαυίδ. Θημὰρ **θυγάτηρ** ἐστὶ **τοῦ** Δαυίδ.
Ἀλλά, Βηρσάβεε οὐκ ἔστιν μήτηρ **τοῦ Ἀβεσσαλὼμ** ἢ **τῆς** Θημάρ.
**πατήρ, μήτηρ, υἱός, θυγάτηρ**

Τίς ἐστιν ἡ γυνὴ **τοῦ** Δαυίδ; Βηρσάβεε ἐστὶν ἡ γυνὴ **τοῦ** Δαυίδ.
Τίς ἐστιν ὁ **πατὴρ τοῦ** Δαυίδ; Ἰεσσαί ἐστιν ὁ **πατὴρ τοῦ** Δαυίδ.
Τίς ἐστιν ἡ **θυγάτηρ τοῦ** Δαυίδ; Θημάρ ἐστιν ἡ **θυγάτηρ τοῦ** Δαυίδ.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Τίς ἐστιν ὁ **υἱὸς τοῦ** Δαυίδ; Ἀβεσσαλὼμ ἐστιν **υἱὸς τοῦ** Δαυίδ καὶ Σαλωμών ἐστιν **υἱὸς τοῦ** Δαυίδ.
Ἀβεσσαλὼμ καὶ Σαλωμών εἰσιν οἱ **υἱοὶ τοῦ** Δαυίδ.
**υἱοί**, **υἱοί**, οἱ **υἱοί**, ὁ **υἱός,** οἱ **υἱοί**

Τίς ἐστιν ὁ ἀνὴρ **τῆς** Βηρσάβεε; Δαυίδ ἐστιν ὁ ἀνὴρ **τῆς** Βηρσάβεε.
Τίς ἐστιν ἡ **μήτηρ τοῦ** Σαλωμών; Βηρσάβεε ἐστὶν ἡ **μήτηρ τοῦ** Σαλωμών.
Τίς ἐστιν ὁ **πατὴρ τοῦ** Ἀβεσσαλώμ; Δαυίδ ἐστιν ὁ **πατὴρ τοῦ** Ἀβεσσαλώμ.
Τίς ἐστιν ἡ **μήτηρ τοῦ** Δαυίδ; Οὐκ **οἶδα**.

Οὗτός ἐστιν Ἠσαῦ; Ἠσαῦ **υἱός** ἐστι(ν) **τοῦ** Ἰσαάκ.
Καὶ οὗτός ἐστιν Ἰακώβ. Καὶ Ἰακὼβ **υἱός** ἐστι(ν) **τοῦ** Ἰσαάκ. Ἠσαῦ **καὶ** Ἰακώβ.
Ἠσαῦ, Ἰακώβ
Ἠσαῦ καὶ Ἰακώβ υἱοί εἰσι τοῦ Ἰσαάκ.
Ἠσαῦ **ἀδελφός** ἐστι **τοῦ** Ἰακώβ. Ἰακὼβ **ἀδελφός** ἐστι **τοῦ** Ἠσαῦ.
**ἀδελφός, ἀδελφοί,** ὁ **ἀδελφός,** οἱ **ἀδελφοί**

Αὕτη ἐστὶ Λεία. Λεία. Λεία **θυγάτηρ** ἐστὶ **τοῦ** Λαβάν.
Αὕτη ἐστὶ Ῥαχήλ. Ῥαχήλ. Καὶ Ῥαχὴλ **θυγάτηρ** ἐστὶ **τοῦ** Λαβάν.
Λεία καὶ Ῥαχὴλ **θυγατέρες** εἰσὶ **τοῦ** Λαβάν.
Λεία **θυγάτηρ** ἐστὶ **τοῦ** Λαβάν. Καὶ Ῥαχὴλ **θυγάτηρ** ἐστὶ **τοῦ** Λαβάν.
Λεία καὶ Ῥαχὴλ **θυγατέρες** εἰσὶ **τοῦ** Λαβάν.
ἡ **θυγάτηρ**, αἱ **θυγατέρες, θυγατέρες**
Λεία **ἀδελφή** ἐστι(ν) **τῆς** Ῥαχήλ. Ῥαχὴλ **ἀδελφή** ἐστι(ν) **τῆς** Λείας.
**Ἀδελφός, ἀδελφή,** ὁ **ἀδελφός,** ἡ **ἀδελφή**

Οὗτός **ἐστιν** Ἀβραάμ. Σάρρα γυνή ἐστι **τοῦ** Ἀβραάμ.
Ἀβραὰμ ἀνήρ ἐστι **τῆς** Σάρρας.
Οὗτός ἐστιν Ἰσμαήλ. Ἰσμαήλ. Ἰσμαὴλ **υἱός** ἐστι **τοῦ** Ἀβραάμ.
Ἰσμαὴλ **υἱός** ἐστι **τοῦ** Ἀβραάμ. Καὶ Ἰσαὰκ **υἱός** ἐστι τοῦ Ἀβραάμ. Ἰσμαὴλ καὶ Ἰσαὰκ **υἱοί** εἰσι **τοῦ** Ἀβραάμ.
Ἀλλά, Ἰσμαὴλ οὐκ ἔστιν **υἱὸς τῆς** Σάρρας.

Τίς ἐστιν ἡ γυνὴ **τοῦ** Ἰσαάκ; Ῥεβέκκα ἐστὶν ἡ γυνή **τοῦ** Ἰσαάκ.
Τίς ἐστιν ὁ **υἱὸς τοῦ** Ἰσαάκ; Ἠσαῦ ἐστιν **υἱὸς τοῦ** Ἰσαὰκ καὶ Ἰακώβ ἐστιν **υἱὸς τοῦ** Ἰσαάκ.
Τίς ἐστιν ἡ γυνὴ **τοῦ** Ἰακώβ; Λεία ἐστι γυνὴ **τοῦ** Ἰακώβ. Καὶ Ῥαχήλ ἐστι γυνὴ **τοῦ** Ἰακώβ. Λεία καὶ Ῥαχήλ εἰσιν αἱ γυναῖκες **τοῦ** Ἰακώβ.
Λεία καὶ Ῥαχήλ εἰσιν **αἱ** γυναῖκες **τοῦ** Ἰακώβ.

Τίς ἐστιν ἡ **μήτηρ τοῦ** Ἰσαάκ; Σάρρα ἐστιν ἡ **μήτηρ τοῦ** Ἰσαάκ.
Τίς ἐστιν ἡ **γυνὴ τοῦ** Ἰσαάκ; Ῥεβέκκα ἐστιν ἡ γυνὴ **τοῦ** Ἰσαάκ.
Τίς ἐστιν ὁ **ἀνὴρ τῆς** Σάρρας; Ἀβραάμ ἐστιν ὁ **ἀνὴρ τῆς** Σάρρας.
Τίς ἐστιν ὁ **πατὴρ τοῦ** Ἰακώβ; Ἰσαάκ ἐστιν ὁ **πατὴρ τοῦ** Ἰακώβ.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Τίς ἐστιν ὁ **υἱὸς τοῦ** Ἀβραάμ; Ἰσμαήλ ἐστιν **υἱὸς τοῦ** Ἀβραὰμ καὶ Ἰσαάκ ἐστιν **υἱὸς τοῦ** Ἀβραάμ. Ἰσμαὴλ καὶ Ἰσαάκ εἰσιν οἱ **υἱοὶ τοῦ** Ἀβραάμ.

Τίς ἐστιν ἡ **ἀδελφὴ τῆς** Ῥαχήλ; Λεία ἐστιν ἡ **ἀδελφὴ τῆς** Ῥαχήλ.
Τίς ἐστιν ὁ **ἀνὴρ τῆς** Λείας; Ἰακώβ ἐστιν ὁ ἀνὴρ **τῆς** Λείας.
Τίς ἐστιν ὁ **ἀδελφὸς τοῦ** Ἰακώβ; Ἠσαῦ ἐστιν ὁ **ἀδελφὸς τοῦ** Ἰακώβ.
Τίς ἐστιν ἡ **μήτηρ τοῦ** Ἠσαῦ; Ῥεβέκκα ἐστὶν ἡ **μήτηρ τοῦ** Ἠσαῦ.
Τίς ἐστιν ἡ **θυγάτηρ τοῦ** Λαβάν; Λεία ἐστι **θυγάτηρ τοῦ** Λαβὰν καὶ Ῥαχήλ ἐστι **θυγάτηρ τοῦ** Λαβάν. Λεία καὶ Ῥαχήλ εἰσίν αἱ **θυγατέρες τοῦ** Λαβάν.
ἀνὴρ καὶ γυνή, **πατήρ, μήτηρ, υἱός, υἱός, ἀδελφός, θυγάτηρ, ἀδελφή**

Τίς εἶ σύ; Ἐγὼ Ἰσμαήλ εἰμι.
**Τίνος** υἱὸς εἶ σύ; **Τοῦ** Ἀβραὰμ ἐγὼ **υἱός** εἰμι.
Τίς εἶ σύ; Ἐγὼ Σάρρα εἰμί.
**Τίνος** γυνὴ εἶ σύ; **Τοῦ** Ἀβραὰμ ἐγὼ γυνή εἰμι.
Ἀβραάμ, **τίνος** ἀνήρ εἶ σύ; **Τῆς** Σάρρας ἐγὼ ἀνήρ εἰμι.
Ἰακώβ, **τίνος** υἱὸς εἶ σύ; **Τοῦ** Ἰσαὰκ ἐγὼ **υἱός** εἰμι.
Λεία, **τίνος** γυνὴ εἶ σύ; **Τοῦ** Ἰακὼβ ἐγὼ γυνή εἰμι.
Λεία, **τίνος** ἀδελφὴ εἶ σύ; **Τῆς** Ῥαχὴλ ἐγὼ **ἀδελφή** εἰμι.
Ῥαχήλ, **τίνος** θυγάτηρ εἶ σύ; **Τοῦ** Λαβὰν ἐγὼ **θυγάτηρ** εἰμί.
Ἠσαῦ, **τίνος** ἀδελφὸς εἶ σύ; **Τοῦ** Ἰακὼβ ἐγὼ **ἀδελφός** εἰμι.

Ἔρρωσθε.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 16 δεκαέξ · τὸ δίδαγμα τὸ ἑκκαιδέκατον

Χαίρετε. Ἀγγέλη εἰμί.

**Δδ** · Τοῦτό ἐστι τὸ γράμμα δέλτα· Δδ, δέλτα
**δ, δα, δε, δι, δο, δυ**
δ · **δύο**, δ · **δενδρον, τὸ δένδρον, τὰ δένδρα**
**Δδ** · δέλτα

**Ωω** · ὦ μέγα · Ωω
**ο,** ὄ μικρόν, **ω,** ὦ μέγα
**ο, ω, ο, ω**
**ω,** ὦ μέγα
**ο,** ὄ μικρόν
**ν,** νῦ
**ᾠόν, τὸ ᾠόν**
**τό, τὸ ᾠόν**
**ᾠά, τὰ ᾠά**
**τά, τὰ ᾠά**
**ὠ** ἢ **ὡ**
**ω, ὠ, ὡ**
Τί ἐστι τοῦτο; **ὥρα**, ἡ **ὥρα**, μία **ὥρα**, **μία ὥρα, μία ὥρα**
μία, δύο, τρεῖς **ὧραι**, τρεῖς **ὧραι**
ἡ **ὥρα**, αἱ **ὧραι**
**ὥρα, ὧραι**
**ὠ, ὡ, Ωω** · ὦ μέγα

**Γγ** Τοῦτό ἐστι τὸ γράμμα γάμμα, τὸ γράμμα γάμμα, γάμμα · **Γγ**
**γ, γα, γι, γυ, γο, γω, γε, γη, η**
**Η η** · ἦτα
ε · ἒ ψιλόν
η · ἦτα
ε, η, ε, η
γ · γάμμα
η · ἦτα
**γῆ**, ἡ γῆ
Τί ἐστι τοῦτο; οὐρανός, ὁ οὐρανός ἐστιν.
**οὐρανός**, **γῆ, οὐρανός**
**ἡ γῆ, ὁ οὐρανός**

**γυνή**
**Γγ** · γάμμα
**Ηη** · ἦτα

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**ἠ** ἢ **ἡ**
**η ἠ, ἡ**
**ἡ, ἡ γυνή, ἡ γῆ, ἡ ὥρα, ἡ γυνή, ἡ γῆ, ἡ ὥρα**
**ἡ**
Τί ἐστι τοῦτο; ἥλιος, ὁ ἥλιος
**ἥλιος, ὁ ἥλιος**
**ἡ γῆ, ὁ οὐρανός, ὁ ἥλιος**
**ἠ** ἢ **ἡ**, **Ηη,** ἦτα

**Κκ** · κάππα
**κ, κα, κι, κυ, κο, κω, κε, κη**
Κκ · κάλαμος, κάμηλος, κεφαλή, κόμη
**κ · κοράσιον, τὸ κοράσιον**
**κύων, ὁ κύων**
**τὸ κοράσιον καὶ ὁ κύων**
**καλός, καλή, καλόν, κακός, κακή, κακόν**
**Τὸ κοράσιον καλόν ἐστιν.**
**Ὁ κύων κακός ἐστιν.**
**Κκ**, κάππα

**Μμ** · μῦ
**μ, μα, μι, μυ, μο, μω με, μη**
μία, μου, μέγας, μικρός
**μέγας, μικρός, μέγας καὶ μικρός**
Τί ἐστι τοῦτο ἀνήρ **ἢ** γυνή; **ἀνήρ, Ἀνὴρ ἢ** γυνή; **Ἀνήρ ἐστιν.**
Ἆρα οὗτος ὁ ἀνὴρ **μέγας ἢ μικρός ἐστιν**; **Ἀνὴρ μέγας ἐστίν.**
Ἆρα οὗτος ὁ ἀνὴρ **μέγας ἢ μικρός ἐστιν**; **Ἀνὴρ μικρός ἐστιν.**

**ἤ · ἠ ἢ ἡ**
**ἤ**
**Ἀνὴρ ἢ γυνή; Ἀνήρ.**
**Μέγας ἢ μικρός; Μέγας.**
**Καλός ἢ κακός; Κακός.**
**ἤ**
**Μμ,** μ μῦ

**Ππ** · πῖ
π, πα, πι, πυ, πο, πω, πε, πη
π · πρόσωπον, πέντε, πρόβατον, ποτήριον, παιδίον
που, Ποῦ;
Ποῦ ἐστιν τὸ πρόσωπόν μου; **Ὧδε.**
Ποῦ ἐστιν ὁ κάλαμός μου; Ποῦ ἐστιν; **Ὧδε.**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Ποῦ ἐστιν τὸ ποτήριόν μου; Οὐκ ἔστιν ὧδε, ἐστὶν **ἐκεῖ.** Οὐκ ἔστιν **ὧδε,** τὸ ποτήριόν μού ἐστιν **ἐκεῖ. Λεπτόν, ὧδε.** Νῦν δὲ τὸ ποτήριόν μου **ὧδέ** ἐστιν, **οὐκ ἔστιν ἐκεῖ, ὧδε** ἐστιν.
**ὧδε, ἐκεῖ.**
**ὧδε, ἐκεῖ, ὧδε, ἐκεῖ**
**Ππ** · πῖ

**Δ δ** · δέλτα
**Ω ω** · ὦ μέγα
**Γ γ** · γάμμα
**Η η** · ἦτα
**Κ κ** · κάππα
**Μ μ** μῦ
**Π π** · πῖ

**Τί ἐστιν, ἀνὴρ ἢ γυνή; Γυνή ἐστιν.**
**Τί ἐστιν, ἀνὴρ ἢ γυνή; Ἀνὴρ καὶ γυνή εἰσιν.**
Ἆρα οὗτος ὁ ἀνὴρ **μέγας ἢ μικρός** ἐστιν; **Μικρός ἐστιν.**
**Ἡ γυνὴ κακή ἐστιν.**
**Τὸ κοράσιον καλόν ἐστιν καὶ ὁ κύων κακός ἐστιν.**
**Τὸ δένδρον καλόν ἐστιν. Τὰ δένδρα καλά ἐστιν.**
**Ἆρα τοῦτο ᾠόν ἐστιν; Οὔ, ᾠόν οὐκ ἔστιν. Τί ἐστιν; Ἥλιός ἐστιν.**
**Ἆρα τοῦτο οὐρανός ἐστιν; Οὔ, οὐρανὸς οὐκ ἔστιν. Τί ἐστίν; Γῆ ἐστιν, ἡ γῆ.**
**Ποῦ ἐστιν ἡ γῆ; Ὧδε.**
**Ποῦ ἐστιν ὁ ἥλιος; Ἐκεῖ.**
**ἡ γῆ, ὁ οὐρανός, ὁ ἥλιος**
**ἡ ὥρα, αἱ ὧραι, μία ὥρα, τρεῖς ὧραι**
**Ποῦ ἐστιν τὸ ποτήριόν μου, ὧδε ἢ ἐκεῖ; Ὧδε.**
**Ποῦ ἐστιν τὸ ποτήριόν μου, ὧδε ἢ ἐκεῖ; Ἐκεῖ.**

Ἔρρωσθε.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 17 δεκαεπτά  · τὸ δίδαγμα τὸ ἑπτακαιδέκατον

Χαίρετε.  Ἀγγέλη εἰμί.
Ἀγγέλη.  Ἀγγέλη ἐστὶ τὸ **ὄνομά μου**. **Ὄνομα**.
Τί ἐστιν **ὄνομα**; Ἀγγέλη ἐστὶν **ὄνομα** καὶ Μαριάμ ἐστιν **ὄνομα** καὶ Ἰωσήφ ἐστιν **ὄνομα** καὶ Ἀβραάμ καὶ Σάρρα καὶ Ἰσαάκ.
Ἀγγέλη ἐστὶ(ν) τὸ **ὄνομά μου, μοῦ**.
**ὄνομα**

Τίνος ἡ χεὶρ αὕτη ἐστίν;  Ἡ χείρ **μού** ἐστιν.
**μοῦ**
Τίνος ἡ κεφαλὴ αὕτη ἐστίν; Ἡ κεφαλή **μού** ἐστιν.

Ἀγγέλη        Οὗτός ἐστιν Ἰωσήφ.
Ἰωσήφ        Χαίρετε.
Ἀγγέλη        Ὦ Ἰωσήφ, ποῦ ἐστιν ἡ χείρ **σου**;
Ἰωσήφ        Χαῖρε.
Ἀγγέλη        Χαῖρε Ἰωσήφ. Ποῦ ἐστιν ἡ χείρ **σου**;
Ἰωσήφ        Χαίρετε.
Ἀγγέλη        Ἰωσήφ, ὦ Ἰωσήφ, ποῦ ἐστιν ἡ χείρ **σου**;
Ἰωσήφ Ὧδε.
Ἀγγέλη        Ναί, καὶ ποῦ ἐστιν ἡ κεφαλή **σου**;
Ἰωσήφ Ὧδε.
Ἀγγέλη        Ναί.
Ἰωσήφ Ὦ Ἀγγέλη, ποῦ ἐστιν ἡ κεφαλή **σου**;
Ἀγγέλη        Ποῦ ἐστιν ἡ κεφαλή **μου**;
Ἰωσήφ Ποῦ ἐστιν ἡ κεφαλή **σου**;
Ἀγγέλη        Ὧδε. Ἡ κεφαλή **μου**, ἡ κεφαλή **σου**.
Ἰωσήφ Ὦ Ἀγγέλη, ποῦ ἐστιν ἡ χείρ **σου**;
Ἀγγέλη        Ποῦ ἐστιν ἡ χείρ **μου**;
Ἰωσήφ Ναί. Ποῦ ἐστιν ἡ χείρ **σου**;
Ἀγγέλη        Ἰδού, ἡ χείρ **μου**.

Ἐγώ εἰμι γυνὴ μεγάλη καὶ σὺ εἶ ἀνὴρ μικρός.
ἐγώ, σύ
Ἡ χείρ **μου**, ἡ χείρ **σου.**
**μοῦ, σοῦ**

Χαῖρε. Τίς εἶ σύ;
Ἐγὼ Μαριάμ εἰμι. Τίς εἶ σύ;
Ἐγὼ Ἰωσήφ εἰμι.

**τίς; ἐγώ, σύ**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**τίνος; μοῦ, σοῦ**

Οὗτός ἐστιν Ἰσαάκ. Τίνος υἱός ἐστιν ὁ Ἰσαάκ; **Τοῦ** Ἀβραάμ Ἰσαὰκ υἱός ἐστιν.
Τίνος; Τοῦ Ἀβραάμ.
Τίνος πατήρ ἐστιν ὁ Ἀβραάμ; **Τοῦ** Ἰσαάκ Ἀβραὰμ πατήρ ἐστιν.
Τίνος; Τοῦ Ἰσαάκ.
**τοῦ**

**τίνος; τοῦ (ὄνομα)**
τοῦ Ἀβραάμ, τοῦ Ἰσαάκ
**τοῦ**

Ἰσαὰκ υἱός ἐστι τοῦ Ἀβραάμ. Ἰσαὰκ υἱός ἐστιν **αὐτοῦ**. Τίνος υἱός ἐστιν; **Αὐτοῦ,** τοῦ Ἀβραάμ.
Ἀβραὰμ πατήρ ἐστι τοῦ Ἰσαάκ. Ἀβραὰμ πατήρ ἐστιν **αὐτοῦ**. Τίνος πατήρ ἐστιν; **Αὐτοῦ, τοῦ** Ἰσαάκ**.**
**αὐτοῦ**

**τίνος; τοῦ (ὄνομα), αὐτοῦ**

Λεία ἀδελφή ἐστι(ν) **τῆς** Ῥαχήλ. Τίνος ἀδελφή ἐστιν; **Τῆς** Ῥαχήλ.
Τίνος ἀδελφή ἐστιν ἡ Ῥαχήλ; Ἡ Ῥαχὴλ ἀδελφή ἐστι(ν) **τῆς** Λείας.
**τῆς**

**τίνος; τῆς (ὄνομα)**

**τῆς** Ῥαχήλ, **τῆς** Λείας, **τῆς**

Λεία ἀδελφή ἐστι(ν) **τῆς** Ῥαχὴλ. Λεία ἀδελφή ἐστιν **αὐτῆς**. Τίνος ἀδελφή ἐστιν ἡ Λεία; **Αὐτῆς, τῆς** Ῥαχήλ**.**
Ῥαχὴλ ἀδελφή ἐστι **τῆς** Λείας. Ῥαχὴλ ἀδελφή ἐστιν **αὐτῆς**. Τίνος ἀδελφή ἐστιν; **Αὐτῆς, τῆς** Λείας**.**

**τίνος; τῆς (ὄνομα), αὐτῆς**

Ἰσαὰκ υἱός ἐστι(ν) **τοῦ** Ἀβραὰμ καὶ **τῆς** Σάρρας.
Ἰσαὰκ υἱός ἐστιν **αὐτοῦ** καὶ **αὐτῆς**.
ἀρσενικόν ♂, θηλυκλόν ♀

**τίνος;**
**♂ αὐτοῦ, ♀ αὐτῆς**

**αὐτοῦ, αὐτῆς**
**τοῦ** Ἀβραάμ, **τῆς** Σάρρας
**τοῦ**, **τῆς, αὐτοῦ, αὐτῆς**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**τίνος;**
♂ **τοῦ (ὄνομα), αὐτοῦ**
♀ **τῆς (ὄνομα), αὐτῆς**

Ἀγγέλη τῷ μαθητῇ · Ποῦ ἐστιν ἡ κεφαλή σου;
ὁ μαθητής · Ὧδε.
Ἀγγέλη τῷ μαθητῇ · Ποῦ ἐστιν ἡ χείρ σου;
ὁ μαθητής · Ἰδού.

Οὗτός ἐστι Μᾶρκος.
Ποῦ εἰσιν οἱ ὀφθαλμοὶ αὐτοῦ; Ἰδού, οἱ ὀφθαλμοὶ **αὐτοῦ.**
Ποῦ εἰσιν οἱ **πόδες** αὐτοῦ;
**πόδες**; τί ἐστι **πόδες**; **πόδες, πούς, πούς, πόδες, πούς, πούς, πόδες,**
ὁ **πούς**, οἱ **πόδες**
Ποῦ εἰσιν οἱ **πόδες τοῦ** Μάρκου; Ἰδού, οἱ **πόδες αὐτοῦ.**
Ποῦ ἐστι τὰ σκέλη **αὐτοῦ**; Ἰδού, τὰ σκέλη **αὐτοῦ.**

Αὕτη ἐστὶν Ἄννα.
Ποῦ ἐστι τὸ πρόσωπον **αὐτῆς**; Ἰδού, τὸ πρόσωπον **αὐτῆς.**
Ποῦ ἐστι τὸ στόμα **αὐτῆς**; Ἰδού, τὸ στόμα **αὐτῆς.**
Ποῦ ἐστιν ἡ ῥὶς **αὐτῆς**; Ἰδού, ἡ ῥὶς **αὐτῆς.**

Οὗτοί εἰσι Μᾶρκος καὶ Ἄννα.
Ποῦ εἰσιν αἱ χεῖρες **τῆς** Ἄννας; Ἰδού, αἱ χεῖρες **αὐτῆς.**
Ποῦ εἰσιν οἱ ὀφθαλμοὶ **τῆς** Ἄννας; Ἰδού, οἱ ὀφθαλμοὶ **αὐτῆς**.
Ποῦ ἐστι τὸ στόμα **τοῦ** Μάρκου; Ἰδού, τὸ στόμα **αὐτοῦ.**
Ποῦ εἰσιν οἱ πόδες **τῆς** Ἄννας; Ἰδού, οἱ πόδες **αὐτῆς**;
Ποῦ ἐστι τὸ πρόσωπον **τοῦ** Μάρκου; Ἰδού, τὸ πρόσωπον **αὐτοῦ**.
Ποῦ ἐστι τὰ σκέλη **τῆς** Ἄννας; Ἰδού, τὰ σκέλη **αὐτῆς**.
Ποῦ ἐστι τὰ ὦτα **τοῦ** Μάρκου; Ἰδού, τὰ ὦτα **αὐτοῦ**.
Ποῦ ἐστι ἡ ῥὶς **τοῦ** Μάρκου; Ἰδού, ἡ ῥὶς **αὐτοῦ**.

Εὖγε.

Αὕτη ἐστὶν ἡ γυνή **μου**.
Οὗτός ἐστιν ὁ ἀνήρ **μου**.
Ἐγώ εἰμι ἡ θυγάτηρ **σου** καὶ σὺ εἶ ἡ μήτηρ **μου.**
Οὗτός ἐστιν ὁ ἀδελφός **μου**.
Σὺ εἶ ἡ θυγάτηρ **μου** καὶ ἐγώ εἰμι ἡ μήτηρ **σου**.
Οὗτοί εἰσιν ὁ υἱός καὶ ἡ θυγάτηρ **μου**.
Ἐγώ εἰμι ἡ ἀδελφή **σου**. Καὶ ἐγώ εἰμι ἡ ἀδελφή **σου**. Ἡμεῖς ἀδελφαί ἐσμεν.
Σὺ εἶ ἡ μήτηρ **αὐτοῦ**.
Ἐγώ εἰμι ἡ θυγάτηρ **αὐτοῦ**.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

Ἐγώ εἰμι ἡ ἀδελφὴ **αὐτοῦ**.
Αὕτη ἐστὶν ἡ ἀδελφὴ **αὐτῆς**.
Ἐγώ εἰμι ὁ ἀδελφὸς **αὐτῆς**.
Οὗτός ἐστιν ὁ ἀδελφὸς **αὐτοῦ**. Ἀδελφοί οὗτοί εἰσιν.
Ἐγώ εἰμι ὁ πατήρ **σου**. Σὺ εἶ ὁ ἀδελφός **μου.** Οὐχί, ὁ γὰρ πατήρ **σου** εἰμὶ ἐγώ.
Τὸ παιδίον ἐστὶν ὁ υἱὸς **αὐτοῦ**.Τὸ βρέφος ἐστὶν ὁ υἱὸς **αὐτῆς**.
Τοῦτο τὸ βρέφος ἐστὶν ἡ θυγάτηρ **αὐτῆς**.
Αὕτη ἐστὶν ἡ θυγάτηρ **αὐτῆς** καὶ αὕτη ἐστὶν ἡ μήτηρ **αὐτῆς**.
Αὕτη ἡ γυνή ἐστιν ἡ θυγάτηρ **αὐτοῦ** καὶ οὗτός ἐστιν ὁ πατὴρ **αὐτῆς**.

Τίνος;
**μοῦ**, **σοῦ,** **αὐτοῦ**, **αὐτῆς,** **τοῦ** Μάρκου, **τῆς** Ἄννας

Μᾶρκος, **ὄνομα**
Μᾶρκός ἐστιν ὄνομα. Μᾶρκός ἐστι τὸ ὄνομα αὐτοῦ.

**ὄνομα**
**πούς**
**πόδες**

Ἔρρωσθε

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 18 δεκαοκτώ · τὸ δίδαγμα τὸ ὀκτωκαιδέκατον

Χαίρετε. Ἀγγέλη εἰμί.

**Θ θ** · τοῦτό ἐστι τὸ γράμμα **θῆτα**. **θῆτα, Θ, θ, θῆτα**
θ, θα, θε, θη, θι, θο, θω, θυ
θύρα, θύρα, ἡ θύρα, θύραι, αἱ θύραι
θυγάτηρ, θυγατέρες
**θεός**, **θεός**, ὁ **θεός**
τίς ἐστιν ὁ **θεός**;
οὗτός ἐστιν ὁ **θεός**.
ὁ **θεός**, ὁ **θεός**
τίς ἐστιν ὁ υἱὸς αὐτοῦ; τί ἐστι(ν) τὸ ὄνομα αὐτοῦ;
τίς ἐστιν ὁ υἱὸς αὐτοῦ; τί ἐστι τὸ ὄνομα αὐτοῦ;
**Ἰησοῦς** ἐστι τὸ ὄνομα αὐτοῦ · ὁ **Ἰησοῦς**.
**Ἰησοῦς** ἐστι τὸ ὄνομα αὐτοῦ · ὁ **Ἰησοῦς**.
ὁ **θεὸς εἶπεν** ·
**εἶπεν**
τί ἐστιν <**εἶπεν**>;
Ἀγγέλη · **ὠ** Ἰωσήφ.
Ἰωσήφ · ὧδε
Ἀγγέλη · **ἐλθὲ** ὧδε.
Ἰωσήφ · χαῖρε.
**Εἰπέ** <χαίρετε>.
Ἰωσήφ · χαίρετε
Ἀγγέλη · τί **εἶπεν** ὁ Ἰωσήφ; **εἶπεν** <χαίρετε>. **εἰπέ** <εὖγε>.
Ἰωσήφ · εὖγε
Ἀγγέλη · τί **εἶπεν** ὁ Ἰωσήφ; **εἶπεν** <εὖγε>. **εἰπέ** <ἔρρωσθε>.
Ἰωσήφ · ἔρρωσθε
Ἀγγέλη · τί **εἶπεν** ὁ Ἰωσήφ; **εἶπεν** <ἔρρωσθε>.
**εἶπεν**

ὁ **θεὸς εἶπεν** · Ἐγώ εἰμι ὁ **θεὸς** Ἀβραὰμ καὶ ὁ **θεὸς** Ἰσαὰκ καὶ ὁ **θεὸς** Ἰακώβ
τὶ **εἶπεν** ὁ **θεός**; ὁ **θεὸς εἶπεν ὅτι** οὗτός ἐστιν ὁ **θεὸς** τοῦ Ἀβραὰμ καὶ ὁ **θεὸς** τοῦ Ἰσαὰκ καὶ ὁ **θεὸς** τοῦ Ἰακώβ.
ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22,32
ὁ **θεός εἶπεν** · Ἐγώ εἰμι ὁ **θεὸς** Ἀβραὰμ καὶ ὁ **θεὸς** Ἰσαὰκ καὶ ὁ **θεὸς** Ἰακώβ.
ὁ **θεός**
**Θ θ, θῆτα**

**Λ λ** · **λάμβδα, λάμβδα, Λ, λ, λάμβδα**
λ· λίθος, ὁ λίθος, λίθοι, οἱ λίθοι
λύκος, ὁ λύκος, λύκοι, οἱ λύκοι
οὗτος ὁ λύκος **λευκός** ἐστιν. οὗτος ὁ λύκος **λευκός** ἐστιν.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**λευκός, λευκός**
ἵππος **λευκός,** ἵππος **λευκός**
κύων **λευκός,** κύων **λευκός**
ὄνος **λευκός,** ὄνος **λευκός**
λύκος **λευκός,** λύκος **λευκός**
καλῶς, καλῶς
**Λ λ, λάμβδα**

**Ξ ξ · ξῖ, ξῖ, ξ, Ξ, ξῖ**
ξ · **ξύλον**, **ξύλον**, **ξύλον,** τὸ **ξύλον**
καὶ δένδρον ἐστὶ **ξύλον**. τὸ δένδρον ἤ τὸ **ξύλον**.
τὸ δένδρον ἤ τὸ **ξύλον**.
**νύξ**, **νύξ**, **ἡμέρα**, **ἡμέρα, νύξ, ἡμέρα, ἡμέρα, νύξ**
**Ξ ξ, ξῖ**

**Φ φ · φῖ, φῖ, Φ, φ, φῖ**
**φυλακή, φυλακή, φυλακή, ἡ φυλακή**
**φυλακή, φύλαξ, φύλαξ,**
**ὁ φύλαξ, οἱ φύλακες, οἱ φύλακες**
**φῶς, σκότος, φῶς, σκότος**
**φῶς, σκότος**
**φῶς, σκότος**
**Φ φ, φῖ**

**Β β · βῆτα, βῆτα, Β, β, βῆτα**
βοῦς, ὁ βοῦς, οἱ βόες, αἱ βόες
βρέφος, τὸ βρέφος
βιβλίον, τὸ βιβλίον
**Β β, βῆτα**

**Ζ ζ · ζῆτα, ζῆτα, Ζ, ζ, ζῆτα,**
ζ · ζῷον, τὸ ζῷον, ζῷον, ᾠόν, ζῷον, ᾠόν
ζῷα, ᾠά
τράπεζα, τράπεζαι
**Ζ ζ, ζῆτα**

**Χ χ · χῖ, χῖ, Χ, χ · χῖ**
χαίρετε, χαίρετε
χείρ, ἡ χείρ, ἡ χείρ μου
χεῖρες, αἱ χεῖρες, αἱ χεῖρές μου
χοῖρος, ὁ χοῖρος, χοῖροι, οἱ χοῖροι
ἰχθύς, ὁ ἰχθύς, **ἰχθύες**, οἱ **ἰχθύες**
**Χ χ · χῖ**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**Ψ ψ, ψῖ, ψῖ, Ψ, ψ, ψῖ**
**ψῦχος, ψῦχός** ἐστιν,
**ψῦχος, ψῦχός** ἐστιν, τὸ **ψῦχος,**
**ψῖχες, ψῖχες**
**ψίξ, ψίξ, ψῖχες, ψῖχες**, ἡ **ψίξ**, αἱ **ψῖχες**, αἱ **ψῖχες**
**Ψ ψ, ψῖ**

**β, βῆτα, ζ, ζῆτα, θ, θῆτα, λ, λάμβδα, ξ, ξῖ, φ, φῖ, χ, χῖ, ψ, ψῖ**

**σκότος, φῶς, ἡμέρα, νύξ, φυλακή, φύλαξ, φύλακες, ξύλον, ἰχθύς, ἰχθύες, ψῦχος, ψίξ, ψῖχες, λύκος λευκός, ὁ θεός**

(ΓΕΝΕΣΙΣ 1,5)
Καὶ **εἶπεν** ὁ **θεός** · Τὸ **σκότος** ἐστὶ **νύξ** καὶ τὸ **φῶς** ἐστιν **ἡμέρα**. Τὸ **σκότος** ἐστὶ **νύξ** καὶ τὸ **φῶς** ἐστιν **ἡμέρα**.

ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22,32
ὁ **θεὸς εἶπεν** · Ἐγώ εἰμι ὁ **θεὸς** Ἀβραὰμ καὶ ὁ **θεὸς** Ἰσαὰκ καὶ ὁ **θεὸς** Ἰακώβ.

Τίς ἐστιν ὁ υἱὸς τοῦ **θεοῦ**;
τίς ἐστιν ὁ υἱὸς αὐτοῦ;
**Ἰησοῦς** ἐστιν ὁ υἱὸς αὐτοῦ.
ὁ **θεός** ἐστιν ὁ Πατὴρ τοῦ **Ἰησοῦ**.
ὁ **θεός** ἐστιν ὁ Πατὴρ αὐτοῦ.

ὁ **Ἰησοῦς εἶπεν** · Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.
1 ἕν
ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10, 30
ὁ **Ἰησοῦς εἶπεν** · Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.

οὗτος ὁ λύκος **λευκός** ἐστιν.
τὸ βρέφος μικρόν ἐστιν.
τράπεζα μικρά, τράπεζα μικρά
ἡ τράπεζα μικρὰ σφόδρα ἐστίν.
αἱ χεῖρες τῆς Ἄννας
ἡ ἀδελφὴ τῆς Λείας
ὁ ἀδελφὸς αὐτοῦ
ἡ θύρα τῆς οἰκίας
μήτηρ καὶ αἱ θυγατέρες αὐτῆς
πατὴρ καὶ αἱ δύο θυγατέρες αὐτοῦ

**Α α** · ἄλφα

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

**Β β** · **βῆτα**
**Γ γ** · γάμμα
**Δ δ** ·    δέλτα
**Ε ε** · ἔ ψιλόν
**Ζ** ζ · **ζῆτα**
**Η η** · ἦτα
**Θ θ** · **θῆτα**
**Ι ι** · ἰῶτα
**Κ κ** ·    κάππα
**Λ** λ · **λάμβδα**
**Μ μ** · μῦ
**Ν ν** · νῦ
**Ξ** ξ · **ξῖ**
**Ο ο** · ὂ μικρόν
**Π π** ·    πῖ
**Ρ ρ** · ῥῶ
**Σ σ**/ς · σῖγμα
**Τ τ** · ταῦ
**Υ υ** · ὖ ψιλόν
**Φ** φ · **φῖ**
**Χ** χ · **χῖ**
**Ψ** ψ· **ψῖ**
**Ω ω** · ὦ μέγα

ὁ **Ἰησοῦς εἶπεν** · Ἐγώ εἰμι τὸ Ἄλφα καὶ τὸ Ὦ.
ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 1, 8
ὁ **Ἰησοῦς εἶπεν** · Ἐγώ εἰμι τὸ Ἄλφα καὶ τὸ Ὦ. Ἐγώ εἰμι τὸ Ἄλφα καὶ τὸ Ὦ.
ἔρρωσθε.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

# 19 δεκαεννέα · τὸ δίδαγμα τὸ ἐννεακαιδέκατον

Χαίρετε. Ἀγγέλη εἰμί.
Ἀγγέλη · οὗτοί εἰσιν Ἀβραὰμ καὶ Σάρρα.
Ἀγγέλη · ὦ Ἀβραάμ, τίς ἐστιν ὁ υἱός σου καὶ τῆς Σάρρας;

Ἀβραάμ καὶ Σάρρα · ὁ Ἰσαάκ ἐστιν ὁ υἱὸς **ἡμῶν.**
Ἀγγέλη · ἆρα Ἰσμαήλ ἔστιν ὁ υἱὸς **ὑμῶν.**
Ἀβραάμ · ὄυ, Ἰσμαήλ ἐστιν ὁ υἱός μου, ἀλλά, οὗτος οὐκ ἔστιν ὁ υἱὸς τῆς Σάρρας;
Ἀγγέλη · Ἰσμαὴλ οὐκ ἔστιν ὁ υἱὸς **ὑμῶν.**
Ἀγγέλη · ὁ Ἰσαάκ ἐστιν ὁ υἱὸς **ὑμῶν.**
Ἀβραάμ καὶ Σάρρα · ὁ Ἰσαάκ ἐστιν ὁ υἱὸς **ἡμῶν.**
Ἀγγέλη · ὁ Ἰσαάκ ἐστιν ὁ υἱὸς **ὑμῶν.**
Ἀβραάμ · ὁ Ἰσαάκ ἐστιν ὁ υἱὸς **ἡμῶν.**
Ἀγγέλη · ὁ Ἰσαάκ ἐστιν ὁ υἱὸς **αὐτῶν.**
**ὑμῶν, ἡμῶν, αὐτῶν**

Ἀγγέλη · αὐταί εἰσι Ραχὴλ καὶ Λεία.
Ἀγγέλη · ὦ Ραχήλ, τίς ἐστιν ὁ πατήρ σου καὶ τῆς Λείας;
Λεία · Λαβάν ἐστιν ὁ πατὴρ **ἡμῶν**.
Ἀγγέλη · ὁ Λαβάν ἐστιν ὁ πατὴρ **ὑμῶν**.
Λεία καὶ Ραχήλ · ὁ πατὴρ **ἡμῶν**.
Ἀγγέλη · ὁ Λαβάν ἐστιν ὁ πατὴρ **ὑμῶν**.
Ἀγγέλη · ὁ πατὴρ **ὑμῶν**.
Λεία καὶ Ραχήλ · ὁ πατὴρ **ἡμῶν**.
Ἀγγέλη · ὁ πατὴρ **αὐτῶν**.
Ἀγγέλη · ὁ Λαβάν ἐστιν ὁ πατὴρ **αὐτῶν**.
**ὑμῶν, ἡμῶν, αὐτῶν**

Τί οὗτοί εἰσιν;
ἄνθρωποι, βρέφος, παιδίον, παιδίον, νεανίσκος, κοράσιον, ἀνήρ, γυνή, πρεσβύτης, πρεσβῦτις.
ἄνθρωποι

Οὗτός ἐστιν Ἰάκωβος. ὁ Ἰάκωβος ἀνήρ ἐστιν. Αὕτη ἐστὶν ἡ γυνὴ αὐτοῦ. Τὸ ὄνομα αὐτῆς Ἰωάννα ἐστιν. ἡ Ἰωάννα γυνή ἐστι τοῦ Ἰακώβου. ὁ Ἰάκωβος ἀνήρ ἐστι τῆς Ἰωάννας. ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα ἀνὴρ καὶ γυνή εἰσιν.
ἀνὴρ καὶ γυνή, ἀνὴρ καὶ γυνή
ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα ἀνὴρ καὶ γυνή εἰσιν.
ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα
ἡ Ἰωάννα γυνή ἐστι τοῦ Ἰακώβου
ὁ Ἰάκωβος ἀνήρ ἐστι τῆς Ἰωάννας.
ὁ Ἰάκωβος, τοῦ Ἰακώβου

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

ἡ Ἰωάννα, τῆς Ἰωάννας
ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα ἀνὴρ καὶ γυνή εἰσιν. ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα ἀνὴρ καὶ γυνὴ εἰσιν.

Οὗτός ἐστι Παῦλος.
ὁ Παῦλος υἱός ἐστι τοῦ Ἰακώβου καὶ τῆς Ἰωάννας.
ὁ Παῦλος υἱός ἐστιν **αὐτῶν, τοῦ** Ἰακώβου καὶ **τῆς** Ἰωάννας.
**αὐτῶν, αὐτῶν**
ὁ Παῦλος υἱός ἐστι τοῦ Ἰακώβου καὶ τῆς Ἰωάννας.
ὁ Παῦλος υἱός ἐστιν **αὐτῶν.**
ὁ Παῦλος υἱός ἐστι τοῦ Ἰακώβου καὶ τῆς Ἰωάννας.
ὁ Παῦλος υἱός ἐστιν **αὐτῶν.**
ὁ Παῦλος υἱός ἐστι **τοῦ** Ἰακώβου καὶ **τῆς Ἰωάννας.**
ἢ **αὐτῶν**

Αὕτη ἐστὶ Σαλώμη. ἡ Σαλώμη θυγάτηρ ἐστὶ **τοῦ** Ἰακώβου καὶ **τῆς** Ἰωάννας.
ἡ Σαλώμη θυγάτηρ ἐστὶν **αὐτῶν.**
**αὐτῶν**

ἡ Σαλώμη ἀδελφή ἐστι **τοῦ Παύλου**. ἡ Σαλώμη ἀδελφή ἐστιν **αὐτοῦ**.
ἡ Σαλώμη ἀδελφή ἐστι **τοῦ Παύλου**. ἡ Σαλώμη ἀδελφή ἐστιν **αὐτοῦ**.
**τοῦ Παύλου** ἢ **αὐτοῦ**.

ὁ Παῦλος ἀδελφός ἐστι τῆς Σαλώμης. ὁ Παῦλος ἀδελφός ἐστιν **αὐτῆς**.
ὁ Παῦλος ἀδελφός ἐστι τῆς Σαλώμης. ὁ Παῦλος ἀδελφός ἐστιν **αὐτῆς**.
**τῆς Σαλώμης** ἢ **αὐτῆς**
**αὐτοῦ, αὐτῆς, αὐτῶν**

ὁ Παῦλος καὶ ἡ Σαλώμη **τέκνα** εἰσὶ **τοῦ** Ἰακώβου καὶ **τῆς** Ἰωάννας.
**τέκνα, τέκνα**
ὁ Παῦλος **τέκνον** ἐστὶν αὐτῶν καὶ ἡ Σαλώμη **τέκνον** ἐστὶν αὐτῶν.
**τέκνον, τέκνον**

ὁ υἱὸς **αὐτοῦ** ἐστι τὸ τέκνον **αὐτοῦ**.
ἡ θυγάτηρ **αὐτῆς** ἐστι τὸ τέκνον **αὐτῆς**.
ὁ υἱὸς **αὐτῆς** ἐστι τὸ τέκνον **αὐτῆς**.
ἡ θυγάτηρ **αὐτοῦ** ἐστι τὸ τέκνον **αὐτοῦ**.
ὁ υἱὸς **αὐτῶν** ἐστι τὸ τέκνον **αὐτῶν.**
τὰ τέκνα **αὐτοῦ**
τὰ τέκνα **αὐτῆς**
τὰ τέκνα **αὐτῶν**

ὁ Παῦλος καὶ ἡ Σαλώμη τέκνα εἰσὶν **αὐτῶν,** τὰ τέκνα **τοῦ** Ἰακώβου καὶ **τῆς** Ἰωάννας.
καὶ Τιμόθεος καὶ Ἐλισάβετ καὶ Πέτρος τέκνα εἰσὶν **αὐτῶν,**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

τέκνα, τὰ τέκνα
τὰ τέκνα **τοῦ** Ἰακώβου καὶ **τῆς** Ἰωάννας.

ὁ Τιμόθεος καὶ ἡ Ἐλισάβετ εἰσὶν παιδία καὶ ὁ Πέτρος ἐστὶν βρέφος.
ὁ Παῦλός ἐστι νεανίσκος καὶ ἡ Σαλώμη ἐστὶ(ν) κοράσιον.

τρεῖς υἱοὶ καὶ δύο θυγατέρες. τρεῖς υἱοὶ καὶ δύο θυγατέρες.
Παῦλός ἐστιν ὁ ἀδελφὸς ὁ **πρεσβύτερος**.
Πέτρος ἐστὶν ὁ ἀδελφὸς ὁ **νεώτερος**.
ὁ **πρεσβύτερος**, ὁ **νεώτερος**
ὁ **πρεσβύτερος** ἄνθρωπος, ὁ **νεώτερος** ἄνθρωπος
ὁ **πρεσβύτερος**, ὁ **νεώτερος**
ὁ **πρεσβύτερος** ἀδελφός, ὁ **νεώτερος** ἀδελφός

ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα γονεῖς εἰσιν **αὐτῶν**.
ὁ Ἰάκωβος καὶ ἡ Ἰωάννα γονεῖς εἰσιν **αὐτῶν**.

**τέκνον, τέκνον, τέκνον, τέκνον, τέκνον, τέκνα**
**γονεύς, γονεύς, γονεῖς, τὰ τέκνα, οἱ γονεῖς**
οὗτοί εἰσιν οἰκία.
ἀλλά, αὕτη ἐστὶν οἰκία.
ἡ οἰκία
καὶ οἱ ἄνθρωποι ἐν τῇ οἰκίᾳ οἰκία εἰσίν.
οἱ ἄνθρωποι ἐν τῇ οἰκίᾳ
ἐν
τὸ ὕδωρ ἐν τῇ ὑδρίᾳ ἐστίν. τὸ ὕδωρ ἐν τῇ ὑδρίᾳ ἐστίν.
ὁ κύων ἐν τῇ οἰκίᾳ ἐστίν.
ὁ ὄνος ἐν τῇ οἰκίᾳ ἐστίν.
οὗτος ὁ κύων οὐκ ἔστιν ἐν τῇ οἰκίᾳ.
ὁ βοῦς ἐν τῇ οἰκίᾳ ἐστίν.
ἐν
τὸ ὕδωρ ἐν τῇ ὑδρίᾳ ἐστίν. ἐν
οὐκ ἔστιν ὕδωρ ἐν ταύτῃ τῇ ὑδρίᾳ.
ὁ ἰχθὺς ἐν τῇ ὑδρίᾳ ἐστίν. ὁ ἰχθὺς ἐν τῇ ὑδρίᾳ ἐστίν.
ἐν, ἕν, ἐν, ἕν

πατὴρ καὶ μήτηρ καὶ υἱοὶ καὶ θυγατέρες **οἰκία** εἰσίν.
καί οἱ ἄνθρωποι ἐν τῇ οἰκίᾳ **οἰκία** εἰσίν.
αὕτη ἐστὶν οἰκία καὶ οὗτοί εἰσιν **οἰκία**.

1. **οἰκία**
2. **οἰκία**

ἢ

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

1. **οἶκος**
2. **οἶκος**

**ὁ οἶκος** ἢ ἡ οἰκία (**ὁ οἶκος** = ἡ οἰκία), **τὸ αὐτό**,
**ὁ οἶκος** ἢ ἡ οἰκία, **τὸ αὐτό**
**ὁ οἶκος** ἢ ἡ οἰκία
**ὁ οἶκος** ἢ ἡ οἰκία

Τίνες οὗτοί εἰσιν; οὗτοί εἰσιν οἱ γονεῖς **τῆς** Ἰωάννας.
ἡ Ἰωάννα τέκνον ἐστὶν **αὐτῶν**.
οὗτοί εἰσιν οἱ γονεῖς **αὐτῆς**.

ἡ μάμμη · ὦ Σαλώμη, τίς ἐστιν ἡ μήτηρ **σου**;
Σαλώμη · Ἰωάννα ἐστὶν ἡ μήτηρ **μου**.
ἡ μάμμη · ὦ τέκνα, τίς ἐστιν ἡ μήτηρ **ὑμῶν**;
τὰ τέκνα · Ἰωάννα ἐστὶν ἡ μήτηρ **ἡμῶν**.
ἡ μάμμη · ὦ Ἰάκωβε καὶ Ἰωάννα, τίς ἐστι τὸ βρέφος **ὑμῶν**;
Ἰάκωβος καὶ Ἰωάννα · Πέτρος ἐστὶ τὸ βρέφος **ἡμῶν**.

ὁ κύων **αὐτοῦ**
ὁ κύων **μου**
ὁ κύων ἡμῶν, ὁ κύων **ἡμῶν**
ὁ κύων **ἡμῶν**, ὁ κύων **ὑμῶν**
ὁ κύων **ἡμῶν,** ὁ κύων **ὑμῶν**
ὁ κύων αὐτῶν, ὁ κύων **αὐτῶν**
σὺ εἶ ἡ μήτηρ ἡμῶν. ἐγώ εἰμι ἡ μήτηρ **ὑμῶν**.
σὺ εἶ ἡ μήτηρ ἡμῶν. ἐγώ εἰμι ἡ μήτηρ **ὑμῶν**.

## Η ΟΙΚΙΑ ΤΗΣ ΜΑΡΙΑΣ

Ἐγὼ Μαρία εἰμί.
οὗτός ἐστιν ὁ πατήρ **μου**.
οὗτός ἐστιν ὁ ἀδελφός **μου**.
ἐγώ εἰμι ὁ ἀδελφὸς **αὐτῆς**.
αὕτη ἐστὶν ἡ μήτηρ **ἡμῶν**.
τοῦτό ἐστι τὸ βρέφος **ἡμῶν**.
οὗτός ἐστιν ὁ ἀδελφὸς ὁ νεώτερος **ἡμῶν**.
αὕτη ἐστὶν ἡ ἀδελφὴ **ἡμῶν**.
ἐγώ εἰμι ἡ ἀδελφὴ **αὐτῶν**.
ἐγώ εἰμι ἡ ἀδελφὴ **ὑμῶν**.
αὕτη ἐστὶν ἡ **μάμμη ἡμῶν**.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

ἐγώ εἰμι ἡ **μάμμη ὑμῶν**.
οὗτός ἐστιν ὁ **πάππος ἡμῶν**.
ἐγώ εἰμι ὁ **πάππος ὑμῶν**.
οὗτός ἐστιν ὁ ἀδελφὸς ὁ πρεσβύτερος **ἡμῶν**,
καὶ αὕτη ἐστὶν ἡ γυνὴ **αὐτοῦ**.
οὗτοί εἰσιν ἡ οἰκία **μου**.

τὸ τέλος

ἔρρωσθε

## 20 εἴκοσι · τὸ δίδαγμα τὸ εἰκοστόν

Χαίρετε μαθηταί. Ἀγγέλη εἰμί.
ἐγὼ διδάσκαλός εἰμι. ὑμεῖς μαθηταί ἐστε.
διδάσκαλος, μαθηταί
μαθητής, μαθητής, μαθητής, μαθηταί
διδάσκαλος, διδάσκαλος
μαθητής, μαθητής
διδάσκαλος, μαθηταί
μαθητής, μαθητής, μαθητής, μαθητής, μαθηταί
ὁ διδάσκαλος, οἱ μαθηταί
ὁ διδάσκαλος, ἡ διδάσκαλος
ὁ μαθητής, οἱ μαθηταί
μαθήτρια, μαθήτρια, ἡ μαθήτρια, αἱ μαθήτριαι, αἱ μαθήτριαι
μαθητής, μαθηταί
μαθήτρια, μαθήτριαι
μαθηταί, μαθήτριαι

αὕτη ἐστὶν ἡ διδάσκαλος καὶ οὗτοί εἰσιν οἱ μαθηταὶ αὐτῆς, δύο μαθηταὶ καὶ τρεῖς μαθήτριαι.
αὕτη ἐστὶν ἡ διδάσκαλος καὶ οὗτοί εἰσιν οἱ μαθηταὶ αὐτῆς, δύο μαθηταὶ καὶ τρεῖς μαθήτριαι.
οὗτοί εἰσι μαθηταὶ καὶ οὗτός ἐστιν ὁ διδάσκαλος αὐτῶν.
οὗτός ἐστιν ὁ διδάσκαλος καὶ οὗτοί εἰσιν οἱ μαθηταὶ αὐτοῦ.

ἐγώ εἰμι διδάσκαλος.
ἐγώ εἰμι ἡ διδάσκαλος ὑμῶν. ἡ διδάσκαλος ὑμῶν.
ὑμεῖς οἱ μαθηταί μού ἐστε. ὑμεῖς οἱ μαθηταί μού ἐστε.

ὁ Ἰησοῦς εἶπεν · **μαθηταί μού ἐστε**
ὁ Ἰησοῦς εἶπεν · **μαθηταί μού ἐστε (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:31)**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

ὦ μαθηταί, τί ἐστι τοῦτο; ὄνος ἐστίν.
ποῦ ἐστι(ν) τὰ ὦτα **τοῦ** ὄν**ου**;
ταῦτά ἐστι τὰ ὦτα **τοῦ** ὄν**ου**.
τί ἐστιν; ὦτα
τίνος ἐστιν; ὦτα **τοῦ ὄνου.**
ταῦτά ἐστι τὰ ὦτα **τοῦ ὄνου.**
ὁ ὄνος, τὰ ὦτα **τοῦ ὄνου,** τὰ ὦτα **τοῦ ὄνου**

ἡ κεφαλὴ **τοῦ ὄνου**
τὰ σκέλη **του ὄνου**
ἡ **οὐρὰ τοῦ ὄνου**
**οὐρά, οὐρά, οὐρά,** ἡ **οὐρά**
αὕτη ἐστὶν ἡ **οὐρὰ** τοῦ ὄνου. ἡ **οὐρὰ** τοῦ ὄνου.
τί ἐστιν; οὐρά.
τίνος ἐστίν; τοῦ ὄνου. ἡ **οὐρὰ τοῦ ὄνου**.
ὁ ὄνος, **ἡ οὐρὰ τοῦ ὄνου.**
ὁ ὄνος, **ἡ οὐρὰ τοῦ ὄνου, ἡ οὐρὰ τοῦ ὄνου.**
ὁ ὄνος, **τοῦ ὄνου**

ποῦ ἐστι τὰ σκέλη **τοῦ ἵππου;**
ταῦτά ἐστι τὰ σκέλη **τοῦ** ἵππ**ου.**
τίνος σκέλη ἐστίν; **τοῦ ἵππου.**
ταῦτά ἐστι τὰ σκέλη **τοῦ ἵππου.**
**ὁ** ἵππ**ος**, τὰ σκέλη **τοῦ ἵππου**

ὁ ὄν**ος**, τοῦ ὄν**ου**
**ὁ** ἵππ**ος**, **τοῦ** ἵππ**ου**

ἡ κεφαλή **μου**
ἡ κεφαλή **τοῦ ἵππου**
τὸ στόμα **μου**
τὸ στόμα **τοῦ ἵππου**
οἱ ὀφθαλμοί **μου**
οἱ ὀφθαλμοὶ **τοῦ ἵππου**
ἡ κεφαλὴ **τοῦ ὄνου**
τὰ σκέλη **του ὄνου**
ἡ κεφαλὴ **τοῦ ἀνθρώπου**
τὰ σκέλη **τοῦ ἀνθρώπου**
ὁ ἄνθρωπος, **τοῦ ἀνθρώπου**

ὁ ὄν**ος**, τοῦ ὄν**ου**
**ὁ** ἵππ**ος**, **τοῦ** ἵππ**ου**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

ὁ ἄνθρωπ**ος**, τοῦ ἀνθρώπ**ου**

ποῦ ἐστι(ν) τὰ ὦτα **τοῦ ἀνθρώπου τούτου**;
ταῦτά ἐστι τὰ ὦτα αὐ**τοῦ.**
οὗτος **ἔχει** ὦτα μεγάλα. τὰ ὦτα αὐ**τοῦ** μεγάλα ἐστίν.
οὗτος **ἔχει** ὦτα μεγάλα. **ἔχει**
καὶ ἐγὼ **ἔχω** ὦτα, ἀλλὰ τὰ ὦτά μου μεγάλα οὐκ ἔστιν. τὰ ὦτά μου μικρά ἐστιν.
ἐγὼ **ἔχω** ὦτα, ὁ ἄνθρωπος ἔχει ὦτα.
ὁ ἄνθρωπος **ἔχει** ὦτα μεγάλα καὶ ὁ ὄνος **ἔχει** ὦτα μεγάλα. **ἔχει**
τὰ ὦτα αὐ**τοῦ** μεγάλα ἐστίν. ὁ ὄνος **ἔχει** ὦτα μεγάλα.
ὁ ἄνθρωπος **ἔχει** ὦτα μεγάλα καὶ ὁ ὄνος **ἔχει** ὦτα μεγάλα.
ἐγὼ **ἔχω** ὦτα καὶ οὗτος **ἔχει** ὦτα.
ἐγὼ **ἔχω,** οὗτος **ἔχει**

τί ἐστι τοῦτο τὸ ζῷον; ὄφις, ὄφις, ὄφις, ὁ ὄφις, ὁ ὄφις
Ἆρα ὁ ὄφις **ἔχει** ὦτα; ποῦ ἐστι(ν) τὰ ὦτα αὐτοῦ; ὁ ὄφις οὐκ ἔχει ὦτα.
ἐγὼ ἔχω ὦτα καὶ ὁ ὄνος ἔχει ὦτα, ἀλλὰ ὁ ὄφις ὦτα οὐκ ἔχει.
Ἆρα ὁ ὄφις ἔχει κεφαλήν; ναί, αὕτη ἐστὶν ἡ κεφαλὴ αὐτοῦ.
ὁ ὄφις ἔχει κεφαλὴν. ὁ ὄφις ἔχει οὐράν.
Ἆρα ὁ ὄφις ἔχει σκέλη; σκέλη οὐκ ἔστιν. ὁ ὄφις σκέλη οὐκ ἔχει.
ἐγὼ **ἔχω** σκέλη, ὁ ὄνος ἔχει σκέλη, ἀλλ**ὰ** ὁ ὄφις σκέλη οὐκ ἔχει.
ἐγὼ **ἔχω**, ὁ ὄνος ἔχει, ἀλλὰ οὗτος οὐκ ἔχει.
**ἔχω, ἔχει, οὐκ ἔχει**

ὁ Ἰάκωβος πατήρ ἐστι **τοῦ Παύλου.**
τίνος υἱός ἐστιν ὁ Παῦλος;
ὁ Παῦλος υἱός ἐστι **τοῦ Ἰακώβου.**
ὁ Ἰάκωβος πατήρ ἐστι **τοῦ Παύλου** καὶ ὁ Παῦλος υἱός ἐστι **τοῦ Ἰακώβου.**
ὁ Παῦλ**ος,** τοῦ **Παύλου**
ὁ Ἰάκωβ**ος**, τοῦ **Ἰακώβου**

Τίς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ;
Τί ἐστι τὸ ὄνομα αὐτοῦ;
Τί ἐστι τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ;
ὁ Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.
ὁ θεός ἐστιν ὁ πατὴρ τοῦ Ἰησοῦ.

Τίς ἐστιν ὁ υἱὸς **τοῦ** θε**οῦ;**
Τί ἐστι τὸ ὄνομα αὐ**τοῦ**;
Τί ἐστι τὸ ὄνομα **τοῦ** υἱ**οῦ** αὐ**τοῦ**;
ὁ Ἰησοῦς ἐστι τὸ ὄνομα αὐ**τοῦ**.
ὁ Ἰησοῦς ἐστι τὸ ὄνομα **τοῦ** υἱ**οῦ**
**τοῦ** θε**οῦ**.

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

ὁ Ἰησοῦς ἐστιν ὁ υἱὸς **τοῦ** θε**οῦ**.
ὁ θεός ἐστιν ὁ πατὴρ **τοῦ** Ἰησ**οῦ**.

ὁ θε**ός**, τοῦ θε**οῦ**
ὁ υἱ**ός,** τοῦ υἱ**οῦ**
ὁ Ἰησ**οῦς**, τοῦ Ἰησ**οῦ**

**κύριος**, **κύριος, δοῦλος**, **δοῦλος, δοῦλοι, δοῦλοι**
**κύριος** καὶ πέντε **δοῦλοι** αὐτοῦ
ὁ **κύριος** καὶ οἱ **δοῦλοι** αὐτοῦ
ὁ **κύριος**, οἱ **δοῦλοι**

ὁ θεός ἐστιν ὁ **κύριος** ἡμῶν. ὁ θεός ἐστιν ὁ **κύριός** μου καὶ ὁ **κύριος** ὑμῶν.
ὁ θεός ἐστιν ὁ κύριος ἡμῶν.
Θωμᾶς ὁ **μαθητὴς** τοῦ Ἰησοῦ εἶπεν·
Θωμᾶς ἐστι τὸ ὄνομα τοῦ μαθητοῦ τοῦ Ἰησοῦ. Θωμᾶς ἐστι τὸ ὄνομα τοῦ μαθητοῦ τοῦ Ἰησοῦ.
ὁ Θωμᾶς εἶπεν τῷ Ἰησοῦ · Ὁ **κύριός** μου καὶ ὁ θεός μου.
(**ΚΑΤΑ ΙΩΑΝΝΗΝ** 20:28) ὁ Θωμᾶς εἶπεν τῷ Ἰησοῦ · Ὁ **κύριός** μου καὶ ὁ θεός μου.

ὁ **κύριος** τοῦ **δοῦλου**. ὁ **δοῦλος** τοῦ **κυρίου**.
ὁ **κύριος** τοῦ ἵππου. ὁ ἵππος τοῦ **κυρίου**.
οἱ **μαθηταὶ** τοῦ **διδασκάλου**.
τὸ βιβλίον τοῦ **μαθητοῦ**. ὁ **κύριος** τοῦ βιβλίου. τὸ βιβλίον τοῦ **κυρίου**. τὸ βιβλίον τοῦ **μαθητοῦ**.

ὁ Μᾶρκος, οἱ πόδες τοῦ **Μάρκου**
ὁ οἶκος, ἡ θύρα τοῦ **οἴκου**
ὁ ἄνθρωπος, ὁ υἱὸς τοῦ **ἀνθρώπου**
ὁ κύων **τοῦ υἱοῦ** τοῦ **ἀνθρώπου**
ὁ οὐρανός, τὰ πετεινὰ τοῦ
ὁ ἥλιος, τὸ φῶς τοῦ **ἡλίου**
ὁ ἀδελφός, ἡ ἀδελφὴ τοῦ **ἀδελφοῦ**

τὸ δένδρον, αἱ **ῥίζαι** τοῦ **δένδρου**
**ῥίζα**, **ῥίζα**, ἡ **ῥίζα, ῥίζαι,** αἱ **ῥίζαι**
αἱ **ῥίζαι** τοῦ **δένδρου**
τὸ παιδίον, ἡ μήτηρ τοῦ **παιδίου**
τὸ τέκνον, οἱ γονεῖς τοῦ **τέκνου**
τὸ πετεινόν, ἡ κεφαλὴ τοῦ **πετεινοῦ**
τὸ βιβλί**ον,** ὁ **κύριος** τοῦ **βιβλίου**

| | | |
|---|---|---|
| **-ος** | → | **-ου** |
| ὁ Μᾶρκ**ος** | | τοῦ Μάρκ**ου** |
| ὁ οἶκ**ος** | | τοῦ οἴκ**ου** |

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license

| | |
|---|---|
| ὁ ἄνθρωπ**ος** | τοῦ ἀνθρώπ**ου** |
| ὁ υἱ**ός** | τοῦ υἱ**οῦ** |
| ὁ οὐραν**ός** | τοῦ οὐραν**οῦ** |
| ὁ ἥλι**ος** | τοῦ ἡλί**ου** |
| ὁ ἀδελφ**ός** | τοῦ ἀδελφ**οῦ** |

| | | |
|---|---|---|
| **-ον** | → | **-ου** |
| τὸ δένδρ**ον** | | τοῦ δένδρ**ου** |
| τὸ παιδί**ον** | | τοῦ παιδί**ου** |
| τὸ τέκν**ον** | | τοῦ τέκν**ου** |
| τὸ πετειν**όν** | | τοῦ πετειν**οῦ** |
| τὸ βιβλί**ον** | | τοῦ βιβλί**ου** |

ἐγώ ἐιμι **διδάσκαλος**.
ἐγώ ἐιμι **διδάσκαλος** ὑμῶν. ἡ **διδάσκαλος** ὑμῶν.
ὑμεῖς **μαθηταί** μού ἐστε. ὑμεῖς **μαθηταί** μού ἐστε.

ἡ **διδάσκαλος**, ὁ **διδάσκαλος**
ὁ **μαθητής**, ἡ **μαθήτρια**
οἱ **μαθηταί**, αἱ **μαθήτριαι**
ὁ **κύριος**, ὁ **δοῦλος, οἱ δοῦλοι**

Ἔρρωσθε **μαθηταί.**

This work is licensed under a Creative Commons Attribution-ShareAlike 3.0 Unported License: You may adapt and redistribute as long as you credit the original source and release the adaptation under the same CC license